λωθὲν ἐν τοῖς ἔθνεσιν, ὃ ἐβεβηλώσατε ἐν μέσῳ αὐτῶν, καὶ γνώ-
σονται τὰ ἔθνη ὅτι ἐγώ εἰμι κύριος ἐν τῷ ἁγιασθῆναί με ἐν ὑμῖν
κατ᾽ ὀφθαλμοὺς αὐτῶν. [24]καὶ λήμψομαι ὑμᾶς ἐκ τῶν ἐθνῶν καὶ 24
ἀθροίσω ὑμᾶς ἐκ πασῶν τῶν γαιῶν καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν
ὑμῶν. [25]καὶ ῥανῶ ἐφ᾽ ὑμᾶς ὕδωρ καθαρόν, καὶ καθαρισθήσεσθε 25
ἀπὸ πασῶν τῶν ἀκαθαρσιῶν ὑμῶν καὶ ἀπὸ πάντων τῶν εἰδώλων
ὑμῶν, καὶ καθαριῶ ὑμᾶς. [26]καὶ δώσω ὑμῖν καρδίαν καινὴν καὶ 26
πνεῦμα καινὸν δώσω ἐν ὑμῖν καὶ ἀφελῶ τὴν καρδίαν τὴν λιθίνην
ἐκ τῆς σαρκὸς ὑμῶν καὶ δώσω ὑμῖν καρδίαν σαρκίνην. [27]καὶ τὸ 27
πνεῦμά μου δώσω ἐν ὑμῖν καὶ ποιήσω ἵνα ἐν τοῖς δικαιώμασίν
μου πορεύησθε καὶ τὰ κρίματά μου φυλάξησθε καὶ ποιήσητε. [28]καὶ 28
κατοικήσετε ἐπὶ τῆς γῆς, ἧς ἔδωκα τοῖς πατράσιν ὑμῶν, καὶ ἔσεσθέ
μοι εἰς λαόν, κἀγὼ ἔσομαι ὑμῖν εἰς θεόν. [29]καὶ σώσω ὑμᾶς ἐκ 29
πασῶν τῶν ἀκαθαρσιῶν ὑμῶν καὶ καλέσω τὸν σῖτον καὶ πληθυνῶ
αὐτὸν καὶ οὐ δώσω ἐφ᾽ ὑμᾶς λιμόν· [30]καὶ πληθυνῶ τὸν καρπὸν 30
τοῦ ξύλου καὶ τὰ γενήματα τοῦ ἀγροῦ, ὅπως μὴ λάβητε ὀνειδισμὸν
λιμοῦ ἐν τοῖς ἔθνεσιν. [31]καὶ μνησθήσεσθε τὰς ὁδοὺς ὑμῶν τὰς πο- 31
νηρὰς καὶ τὰ ἐπιτηδεύματα ὑμῶν τὰ μὴ ἀγαθὰ καὶ προσοχθιεῖτε
κατὰ πρόσωπον αὐτῶν ἐν ταῖς ἀνομίαις ὑμῶν καὶ ἐπὶ τοῖς βδε-
λύγμασιν ὑμῶν. [32]οὐ δι᾽ ὑμᾶς ἐγὼ ποιῶ, λέγει κύριος κύριος, 32
γνωστὸν ἔσται ὑμῖν· αἰσχύνθητε καὶ ἐντράπητε ἐκ τῶν ὁδῶν ὑμῶν,
οἶκος Ισραηλ. [33]τάδε λέγει κύριος Ἐν ἡμέρᾳ, ᾗ καθαριῶ ὑμᾶς ἐκ 33
πασῶν τῶν ἀνομιῶν ὑμῶν, καὶ κατοικιῶ τὰς πόλεις, καὶ οἰκοδο-
μηθήσονται αἱ ἔρημοι. [34]καὶ ἡ γῆ ἡ ἠφανισμένη ἐργασθήσεται, ἀνθ᾽ 34
ὧν ὅτι ἠφανισμένη ἐγενήθη κατ᾽ ὀφθαλμοὺς παντὸς παροδεύοντος.
[35]καὶ ἐροῦσιν Ἡ γῆ ἐκείνη ἡ ἠφανισμένη ἐγενήθη ὡς κῆπος τρυ- 35
φῆς, καὶ αἱ πόλεις αἱ ἔρημοι καὶ ἠφανισμέναι καὶ κατεσκαμμέναι
ὀχυραὶ ἐκάθισαν. [36]καὶ γνώσονται τὰ ἔθνη, ὅσα ἂν καταλειφθῶσιν 36
κύκλῳ ὑμῶν, ὅτι ἐγὼ κύριος ᾠκοδόμησα τὰς καθῃρημένας καὶ
κατεφύτευσα τὰς ἠφανισμένας· ἐγὼ κύριος ἐλάλησα καὶ ποιήσω.
[37]τάδε λέγει κύριος Ἔτι τοῦτο ζητηθήσομαι τῷ οἴκῳ Ισραηλ τοῦ 37
ποιῆσαι αὐτοῖς· πληθυνῶ αὐτοὺς ὡς πρόβατα ἀνθρώπους. [38]ὡς 38
πρόβατα ἅγια, ὡς πρόβατα Ιερουσαλημ ἐν ταῖς ἑορταῖς αὐτῆς,

23 κυριος B†] + λεγει αδωναι κυριος rel. (in *O* sub ※) || 30 οπως B*A†] + αν rel. | λαβητε] + ετι A (in *O* sub ※) | λιμου] λαου A† || 31 επι] εν A | υμων ult.] αυτων B || 32 κυριος κυριος] αδωναι κυριος Bc, κυριος ο θεος A: cf. 13. 15 | εστιν B† | fin.] + λεγει κυριος A† || 33 κυριος Ra.] pr. αδωναι B (cf. 5 5), + ο θεος A (cf. 14 6): item in 37, sed A κυριος κυριος ο θεος | ημερα] τη ημ. εκεινη A† | των et αι > B || 34 η $2^{0}$ > B*: cf. 35 | παροδευοντος] διοδ. A || 35 η $2^{0}$ > B: cf. 34 || 36 εγω $1^{0}$] + ειμι A† | εγω ult.] pr. οτι A† | κυριος ult.] + κυριος A†: cf. 2 4 || 37 κυριος: cf. 33 | ζητηθησομαι] ζητημα θησομαι *AC* | αυτοις] -τους B†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/841 UNIVERSITÄT LEIPZIG